Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: kza-aa

*Λόβων ὁ Ἀργεῖος* · Lobon of Argos

# Epigrams-Poets Before Alexandrian Age

*Ἐπιγράμματα εἰς Ποιητὰς πρὸ τῆς Ἀλεξανδρινῆς*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινή* Koine (frg)
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

book 142 ἐνθάδε τὴν ἱερὴν κεφαλὴν κατὰ γαῖα καλύπτει ἀνδρῶν ἡρώων κοσμήτορα θεῖον Ὅμηρον. υἱὲ Μέλητος Ὅμηρε, σὺ γὰρ κλέος Ἑλλάδι πάσῃ [para]καὶ Κολοφῶνι πάτρῃ θῆκας ἐς ἀίδιον, καὶ τάσδ' ἀντιθέῳ ψυχῇ γεννήσαο κούρας δισσὰς ἡμιθέων γραψάμενος σελίδας. ὑμνεῖ δ' ἡ μὲν νόστον Ὀδυσσῆος πολύπλαγκτον, [para]ἡ δὲ τὸν Ἰλιακὸν Δαρδανιδῶν πόλεμον. θεῖος Ὅμηρος ὅδ' ἐστίν, ὃς Ἑλλάδα τὴν μεγαλαυχῆ πᾶσαν ἐκόσμησεν καλλιεπεῖ σοφίῃ, ἔξοχα δ' Ἀργείους, οἳ τὴν θεοτειχέα Τροίην ἤρειψαν ποινὴν ἠυκόμου Ἑλένης.

book 143 οὗ χάριν ἔστησεν δῆμος μεγαλόπτολις αὐτὸν [para]ἐνθάδε καὶ τιμαῖς ἀμφέπει ἀθανάτων. ἐνθάδε θεῖος Ὅμηρος, ὃς Ἑλλάδα πᾶσαν ἄεισε, Θήβης ἐκγεγαὼς τῆς ἑκατονταπύλου. Ἄσκρη μὲν πατρὶς πολυλήιος, ἀλλὰ θανόντος [para]ὀστέα πληξίππων γῆ Μινυῶν κατέχει Ἡσιόδου, τοῦ πλεῖστον ἐν Ἑλλάδι κῦδος ὀρεῖται ἀνδρῶν κρινομένων ἐν βασάνῳ σοφίης. χαῖρε δὶς ἡβήσας καὶ δὶς τάφου ἀντιβολήσας, [para]Ἡσίοδ', ἀνθρώποις μέτρον ἔχων σοφίης.

book 143 Ἑλλάδος εὐρυχόρου στέφανον καὶ κόσμον ἀοιδῆς [para]Ἀσκραῖον γενεὴν Ἡσίοδον κατέχω. εἴ τι παραλλάσσει φαέθων μέγας ἅλιος ἄστρων [para]καὶ πόντος ποταμῶν μείζον' ἔχει δύναμιν. φαμὶ τοσοῦτον ἐγὼ σοφίᾳ προέχειν Ἐπίχαρμον. [para]ὃν πατρὶς ἐστεφάνωσ' ἅδε Συρακοσίων. Δωρίδος ἐκ Μούσης κεκορυθμένον ἀνέρα Βάκχῳ [para]καὶ Σατύροις Σικελὸν τῇδ' Ἐπίχαρμον ἔχω. ἓξ ἐπὶ πεντήκοντα, Σιμωνίδη, ἤραο νίκας

book 144 καὶ τρίποδας, θνῄσκεις δ' ἐν Σικελῷ πεδίῳ, Κείῳ δὲ μνήμην λείπεις, Ἕλλησι δ' ἔπαινον εὐξυνέτου ψυχῆς σῆς ἐπιγεινομένοις. ἦ μάλα Πρωτομάχη τε καὶ Εὔμητις λιγύφωνοι [para]ἔκλαυσαν πινυταὶ Πινδάριαι θύγατρες, Ἀργόθεν ἦμος ἵκοντο κομίζους' ἐνδόθι κρωσσοῦ [para]λείψαν' ἀπὸ ξεινῆς ἀθρόα πυρκαϊῆς. ἄρμενος ἦν ξείνοισιν ἀνὴρ ὅδε καὶ φίλος ἀστοῖς Πίνδαρος, εὐφώνων Πιερίδων πρόπολος.

book 145 Αἰσχύλον Εὐφορίωνος Ἀθηναῖον τόδε κεύθει [para]μνῆμα καταφθίμενον πυροφόροιο Γέλας· ἀλκὴν δ' εὐδόκιμον Μαραθώνιον ἄλσος ἂν εἴποι καὶ βαθυχαιτήεις Μῆδος ἐπιστάμενος. —————————————— [para]αἰετοῦ ἐξ ὀνύχων βρέγμα τυπεὶς ἔθανεν. ἐσβέσθης, γηραιὲ Σοφόκλεες, ἄνθος ἀοιδῶν, [para]οἰνωπὸν Βάκχου βότρυν ἐρεπτόμενος. βωμοὺς τούσθε θεοῖς Σοφοκλῆς ἱδρύσατο πρῶτος, [para]ὃς πλεῖστον Μούσης εἷλε κλέος τραγικῆς.

book 145 μνῆμα μὲν Ἑλλὰς ἅπας' Εὐριπίδου, ὀστέα δ' ἴσχει [para]γῆ Μακεδών, ᾗπερ δέξατο τέρμα βίου, πατρὶς δ' Ἑλλάδος Ἑλλὰς Ἀθῆναι, πλεῖστα δὲ Μούσαις τέρψας ἐκ πολλῶν καὶ τὸν ἔπαινον ἔχει.